# TEZAUR LITURGIC

## 11 FEBRUARIE

## APOSTOLOS PAPAHRISTOUS

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# VLASIE
# DE LA
# SKLAVENIS
# AKARNANIEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΑΓΙΩΝ ΟΣΙΟΜΑΡΤΥΡΩΝ
# ΤΩΝ ΕΝ ΣΚΛΑΒΕΝΟΙΣ ΒΛΑΣΙΟΥ ΚΑΙ ΤΩΝ ΣΥΜΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΑΥΤΩ ΕΞ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ και ψάλλομεν Στιχηρά Προσόμοια ήχου πλ. β’. (Την Ανάστασίν σου Χριστέ Σωτήρ). Ήχος πλ. β’.

Δεύτε ευφημήσωμεν οι πιστοί, άσμασιν ενθέοις τους του Χριστού, ευκλεείς θείους ιερομάρτυρας, και γαρ ημάς λυτρούνται των κινδύνων.

Βλάσιον υμνήσωμεν οι πιστοί, τον εν ιερεύσι και μάρτυσι, διαπρέψαντα και νυν ως φως εκλάμποντα, υπέρ τον ήλιον πιστοίς ανθρώποις.

Θεόκλητον, Ιγνάτιον, Συμεών, υμνήσωμεν Κυρίου τους ιερείς, Νικηφόρον τε Παντελεήμονα και τον Χαρίτωνα στέψωμεν ύμνοις.

Τάφω νυν προσπέσωμεν οι πιστοί, Βλασίου του πατρός ημών κράζοντες, εκ παθών ημάς κινδύνων και θλίψεων, και εκ πταισμάτων ρύσαι τους σους δούλους.

Δόξα. Ήχος πλ. β'.

Εν ωδαίς ανυμνήσωμεν πιστοί, τους του Χριστού γενναίους˙ ιερομάρτυρας, και προς αυτούς εν καθαρά τη ψυχή, εκβοήσωμεν λέγοντες. Χαίροις παμμακάριστε Βλάσιε, των οσίων δόξα, και αθλοφόρων το καύχημα. Χαίρετε Θεόκλητε, Συμεών και Ιγνάτιε, ότι την στολήν των ιερέων, λαμπροτέραν ειργάσασθε τοις οικείοις ημών αίμασι. Χαίρετε Νικηφόρε, Παντελεήμονι συν Χαρίτωνι, οι των ασωμάτων εφάμιλλοι και των μαρτύρων ισοστάσιοι. Και νυν παριστάμενοι Χριστώ τω Θεώ, αιτήσασθε δωρηθήναι ημίν το μέγα έλεος.

Και νυν...

Θεοτόκε, συ άμπελος η αληθινή, η βλαστήσασα τον καρπόν της ζωής, σε ικετεύομεν πρέσβευε Δέσποινα μετά των αθλοφόρων και πάντων των αγίων ελεηθήναι τας ψυχάς ημών.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος γ'. Εσπερινόν ύμνον.

Χαρμονικώς ημών τους προστάτας αδελφοί, δεύτε ανυμνήσωμεν εκβοώντες τω Χριστώ, δόξα σοι Χριστέ ο Θεός ημών.

Στίχος. Θαυμαστός ο Θεός εν τοις αγίοις αυτού, ο Θεός Ισραήλ, αυτός δώσει δύναμιν και κραταίωσιν τω λαώ αυτού. Ευλογητός ο Θεός.

Τον Βλάσιον τον θείον και ποιμένα τον καλόν, σκέπην και φουρόν ημών εκβοώμεν εκτενώς. Χαίροις ο πατήρ και πολιούχος ημών.

Στίχος. Καυχήσονται όσοι εν δόξη, και αγαλλιάσονται επί των κοιτών αυτών.

Τοις θείοις ιερεύσι αθληταίς και μονασταίς, ευγνωμόνως κράξωμεν, εκβοώντες προς αυτούς. Χαίρετε σοφοί η ελπίς ημών.

Δόξα. Όμοιον.

Αγέννητον Πατέρα Υιόν τον γεννητόν, Πνεύμα τε το Άγιον, το εκ Πατρός εκπορευτόν, υμνούμεν εκτενώς τον Θεόν ημών.

Και νυν. Θεοτοκίον.

Παρθένε σε υμνούμεν αεί χρεωστικώς, η Θεόν κυήσασα τον του πατνός Δημιουργόν, Παρθένος μετά τόκον διαμείνασα.

Απολυτίκιον. Ήχος α'. Της ερήμου πολίτης.

Των Σκλαβένων το κλέος Ακαρνάνων το καύχημα, και τον θησαυρόν της Ελλάδος, τον πανίερον Βλάσιον, τιμήσωμεν εν ύμνοις οι πιστοί, ομού συν τοις συνάθλοις τοις αυτού. Συμεών τε και Θεόκλητον τους ιερείς, και τον σοφόν Ιγνάτιον, Χαρίτωνα, Νικηφόρον μοναστάς, συν θείω Παντελεήμονι˙ ούτοι πρεσβεύουσιν αεί, υπέρ των ψυχών ημών.

Δόξα, και νυν. Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου σοι, Παρθένε το χαίρε, συν τη φωνή εσαρκούτο ο των όλων Δεσπότης. Εν σοι τη αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυίδ, εδείχθης πλατυτέρα των ουρανών, βαστάσασα τον Κτίστην σου. Δόξα τω ενοικήσαντι εν σοι, δόξα τω προελθόντι εκ σου, δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν την α’ στάσιν του «Μακάριος ανήρ». Εις δε το, Κύριε εκέκραξα, ψάλλομεν στιχηρά προσόμοια η’, τα της παρούσης ακολουθίας και εκ της ακολουθίας του πατρός ημών Γερασίμου Μικραγιαννανίτου.

Ήχος δ’. Έδωκας σημείωσιν.

Μάρτυς ιερώτατος και ιερεύς γενναιότατος, Πάτερ Βλάσιε γέγονας, Χριστόν γαρ εκήρυξας, λησταίς και τυράννοις, ει και εις δέντρον σε προσηλούντες αθλητά, χαράν και δόξαν σοι προεξένησαν. Διο σε και ο Κύριος, υπέρ τον ήλιον λάμποντα, εν τη κτίσει ανέδειξεν, πρεσβευτά των ψυχών ημών.

Δεύτε ευφημήσωμεν, εν θεοπνεύστοις τοις άσμασι, παραδείσου τα εύοσμα, άνθη και μυρίπνοα, της Ακαρνανίας. Θείω Θεοκλήτω, τον Συμεών τον θαυμαστόν, συν Ιγνατίω τω μακαρίω τε, κλεινόν Παντελεήμονα και τον γενναίον Χαρίτωνα, Νικηφόρον, οσίους τε, τους ημών αντιλήπτορας.

Χαίροντες προσέλθωμεν, Ακαρνανίας οι έγγονοι, και πιστώς προσκυνήσωμεν, εικόνα την πάνσεπτον, ιερομαρτύρων. Βρύει γαρ ιάσεις, και θεραπεύει τας ημών, νόσους απάντων ψυχής και σώματος, και απελαύνει δαίμονας, και θεραπεύει τους πάσχοντας, εκ μαγείας τη χάριτι και δυνάμει του Πνεύματος.

Δόξα. Ήχος πλ. β’.

Σήμερον των Ακαρνάνων η πληθύς, εν φωνή αγαλλιάσεως, την επτάριθμον χορείαν των οσίων και μαρτύρων, ευσεβώς

πανηγυρίσωμεν, και προς αυτούς μελωδικώς εκβοήσωμεν λέγοντες. Χαίρετε πατέρες γηγενείς, οι ουρανών το στερέωμα ως αστέρες καταυγάζετε. Χαίρετε μάρτυρες Κυρίου, οι των δαιμόνων τας φάλαγγας, τη υμών ασκήσει πρότερον κατεβάλετε, είτα δε τοις οικείοις αίμασι κατεπνίξατε. Χαίρετε Βλάσιε, Θεόκλητε, Συμεών, Ιγνάτιε, Νικηφόρε, Χαρίτων, Παντελεήμον οι σοφοί, πύργοι της Εκκλησίας οι ακαθαίρετοι. Πάρεστε μέσον ημών αοράτως, καταξιούντες δωρεών αΰλων, τους την ημών εορτήν, ευφημούντας άσμασι.

Και νυν. Θεοτοκίον.

Τίς μη μακαρίσει σε, Παναγία Παρθένε; Τίς μη ανυμνήσει σου, τον αλόχευτον τόκον; Ο γαρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ ημάς˙ ουκ εις δυάδα προσώπων τεμνόμενος, άλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε σεμνή παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Το Προκείμενον της ημέρας και τα αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (Κεφ. 43,9-14).

Τάδε λέγει Κύριος: πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τίς αναγγελεί ταύτα; Ή τα εξ αρχής τίς αναγγελεί υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς, λέγει Κύριος ο Θεός, και ο παίς μου, ον εξελεξάμην,

ίνα γνώτε και πιστεύσητε και συνήτε, ότι εγώ ειμί. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός και μετ' εμέ ουκ έσται. Εγώ ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα και ουκ ήν εν υμίν Θεός αλλότριος˙ υμείς εμοί μάρτυρες και εγώ Κύριος ο Θεός. Έτι απ' αρχής εγώ ειμί, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος˙ ποιήσω, και τίς αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος υμάς, ο άγιος του Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 3,1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών και η αφ' ημών πορεία σύντριμμα, οι δε εισίν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού˙ ως χρυσίον εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. και εν καιρώ επισκοπής αυτών αναλάμψουσι και ως σπινθήρες εν καλάμη διαδραμούνται˙ κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ' αυτώ συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, Στιχηρά Ιδιόμελα.Ήχος α’.

Αγάλλου και ευφραίνου η πληθύς των Ακαρνάνων, χόρευε και σκίρτα η Εκκλησία του Χριστού, επί τη μνήμη των θεοφόρων πατέρων και μαρτύρων των φρουρών ημών. Ο μεν γαρ μακάριος Βλάσιος, ο εξ Σκλαβένων της Ακαρνανίας εξανθήσας, ιερεύς τε τίμιος του Χριστού αναδειχθείς, και τον λαόν αυτού θεοφιλώς ποιμάνας, δια φρικτού μαρτυρίου τον αγώνα τετέλεκεν. Η δε εξάς των θεοφόρων πατέρων, συν τω ποιμένι αυτών Βλασίω μαρτυρήσαντες, της βασιλείας ουρανών πολίται γεγόνασι. Και νυν παριστάμενοι τω Βασιλεί των αιώνων Χριστώ τω Θεώ ημών, αδιαλείπτως πρεσβεύουσι υπέρ των ψυχών ημών.

Ήχος γ’.

Δεύτε πάντες οι πιστοί την μνήμην των εξαρίθμων οσίων πατέρων και αθλοφόρων, ευσεβώς πανηγυρίσωμεν. Ούτοι γαρ εαυτούς τω Θεώ αναθέμενοι, και εν προσευχαίς και νηστείαις, αγάπη τε ανυποκρίτω προς τον λαόν, την ζωήν διετέλεσαν. Εν τω ναώ δε του Κυρίου εστώτες, και την αναίμακτον λειτουργίαν επιτελούντες, υπό αθέων Αγαρηνών αγρίως συρόμενοι, μαρτυρικώς τα πνεύματα αυτών τω Κυρίω παρέθεντο. Όθεν δι’ αυτών τη πίστει τη Ορθοδόξω στηριχθέντες, δοξάσωμεν Χριστόν τον Θεόν ημών, τον δι’ αυτών παρέχοντα ημίν, την αιώνιον ζωήν και το μέγα έλεος.

Ήχος δ’.

Πάτερ Βλάσιε, σε ο Χριστός εν εσχάτοις χρόνοις, υπέρ έννοιαν και ακοήν, εν τη γη εθαυμάστωσεν. Συ γαρ υπέρ τον ήλιον

λάμπων, τη σεμνή Ευφροσύνη, πλειστάκις ώφθης μακάριε. Εν τη ανεγέρσει του ναού σου πρωτοστατών, και δια της Ευφροσύνης τας ελλείψεις τούτου τοις εργάταις μηνύων, τη θεοφρουρήτω δε κάρα σου, τον τόπον τον ακριβή δι’ αυτής εφανέρωσας˙ και τας εν εκάστη νυκτί, της Ευφροσύνης πορείας φωτίζων τον φόνον του υιού αυτής Γεωργίουυ, προ εξ χρόνων γενέσθαι, αυτή προεφήτευσας. Και νυν εις το άνω θυσιαστήριον ιερατεύων, συμπαθέστατε πάτερ ημών Βλάσιε, αίτησαι Χριστώ τω Θεώ, δωρηθήναι τω κόσμω ειρήνην, και ταις ψυχαίς ημών το μέγα έλεος.

Ήχος πλ. α’.

Εν φωνή αγαλλιάσεως, και εν χαρά ανεκφράστω, των Ακαρνάνων τα θρέμματα σήμερον συνελθόντα, την σεβασμίαν εξάδα των θεοφόρων πατέρων ανυμνήσωμεν λέγοντες. Χαίρετε οι την των αγγέλων πολιτείαν, επί γης μιμησάμενοι, και των δαιμόνων τα θράση τη του Πνεύματος δυνάμει καταβαλόντες. Χαίρετε ιερείς Κυρίου, Θεόκλητε, Ιγνάτιε και Συμεών, οι δια του μαρτυρίου διπλούν το στέφος παρά Χριστού κομισάμενοι. Χαίρετε των μοναστών οι πρόκριτοι, Παντελεήμον, Νικηφόρε και Χαρίτων, οι τον Σταυρόν του Κυρίου τοις ώμοις αναλαβόντες, ασκητικώς τε τον βίον αυτόν εδοξάσατε, και δια του μαρτυρίου της ουρανίου βασιλείας πολίται γεγόνατε. Ως παρρησίαν έχοντες την υπέρθεον Τριάδα, υπέρ ημών Αυτήν ικετεύσατε, σωθήναι δεόμεθα τας ψυχάς ημών.

Δόξα. Ήχος βαρύς.

Σήμερον εξέλαμψεν ημίν, η του θεοφόρου Βλασίου πατρός ημών σεβάσμιος μνήμη, ως ήλιος νοητός καταυγάζουσα αεί τας ψυχάς ημών. Μεθ' ης συνεκλάμπει, η εξάς η τιμία των αοιδίμων οσίων και αθλοφόρων, καθάπερ άστρα ουρανού καταφαιδρύνουσα των ορθοδόξων τα συστήματα. Οι εν Σκλαβένοις ευφραινέσθωσαν. Οι Ακαρνάνες αγαλλιάσθωσαν. Και πάντες χείρας Δαυϊτικώς κροτήσωμεν, επί τη των αγίων μνήμη, τω Χριστώ εκβοώντες: Δόξα σοι Χριστέ ο Θεός ημών, ο τούτους πρέσβεις δι' ημάς αναδείξας, ο έχων το μέγα και πλούσιον έλεος.

Και νυν. Θεοτοκίον. Ήχος ο αυτός.

Υπό την σην Δέσποινα σκέπην, πάντες οι γηγενείς προσπεφευγότες, βοώμεν σοι: Θεοτόκε η ελπίς ημών, ρύσαι ημάς εξ αμέτρων πταισμάτων, και σώσον τας ψυχάς ημών.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'. Πανεύφημοι μάρτυρες υμάς.

Πανεύφημοι μάρτυρες υμάς, ουχ η γη κατέκρυψεν, άλλ' ουρανός υπεδέξατο, ηνοίγησαν υμίν, παραδείσου πύλαι, θεοφόρε Βλάσιε, συν εξ πατράσι κόσμον λυτρούμενοι, παθών και θλίψεων, και κινδύνων, ικετεύοντες, τον Σωτήρα υπέρ των ψυχών ημών.

Στίχ. Τοις αγίοις τοις εν τη γη αυτού εθαυμάστωσεν ο Κύριος, πάντα τα θελήματα αυτού εν αυτοίς.

Ο μέγας Θεόκλητος ομού, Συμεών ο ένθεος, και ο θεόφρων Ιγνάτιος, ανευφημήσθω μοι, ιερείς Κυρίου, συν

Παντελεήμονι, Χαρίτων, Νικηφόρος οι ένθεοι, οσίων δόξαν τε, οι Χριστόν καθικετεύοντες, του σωθήναι τους πίστει τιμώντας αυτούς.

Στίχ. Καυχήσονται όσιοι εν δόξη και αγαλλιάσονται επί των κοιτών αυτών.

Συνέλθωμεν πίστει ευσεβώς, Ακαρνάνων σύλλογος, και των πατέρων τιμήσωμεν, επτάδα κράζοντες: εκ λιμού, σεισμού τε, και λοιμού λυτρώσασθε, ημάς, πυρός μαχαίρας μακάριοι, και πάσης θλίψεως, και δαιμόνων επιθέσεων, δυσωπούντες Χριστόν υπέρ πάντων ημών.

Δόξα. Ήχος β'.

Χαίρετε πατέρες τίμιοι, οι τους λόγους Κυρίου, καλώς διαφυλάξαντες. Υμείς τη καθαρότητι βίου, Πνεύματος Κυρίου του Θεού ημών καταγώγεια τερπνά ανεδείχθητε. Των θαυμάτων την χάριν λαβόντες, των πιστών αντιλήπτορες γεγόνατε. Τους τε τάφους υμών ανελλιπώς επισκεπτόμενοι, εν οις ως κακούργοι σφαγιασθέντες ετέθητε, ευωδιάζετε ημάς θεία χάριτι. Τω Κυρίω παρεστώτες, δυσωπείτε αεί του ρυσθήναι ημάς εκ πάσης αιρέσεως, και ειρήνην δωρήσασθαι ταις ψυχαίς ημών.

Και νυν. Θεοτοκίον. Ήχος ο αυτός. Ώ θαύματος καινού.

Ώ θαύματος καινού, πάντων των πάλαι θαυμάτων! Τίς γαρ έγνω μητέρα, άνευ ανδρός τετοκυίαν, και εν αγκάλαις φέρουσαν, τον άπασαν την κτίσιν περιέχοντα; Θεού εστί βουλή το κυηθέν˙ ον ως βρέφος πάναγνε, σαις ωλέναις βαστάσασα, και μητρικήν

παρρησίαν προς αυτόν κεκτημένη, μη παύση δυσωπούσα, υπέρ των σε τιμώντων, του οικτειρήσαι και σώσαι τας ψυχάς ημών.

Είδησις.Μετά το Τρισάγιον, το Απολυτίκιον των αγίων και το Θεοτοκίον˙ (ζήτει εν τω Μικρώ Εσπερινώ)

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετά την α' στιχολογίαν Κάθισμα.Ήχος α'. Τον τάφον σου Σωτήρ.

Ευφραίνου εν Θεώ, των Σκλαβένων η πόλις, πληθύς των ευσεβών, Ακαρνάνων αγάλλου, σκιρτάτωσαν άπαντα, ορθοδόξων συστήματα, εν τη μνήμη νυν των επταρίθμων πατέρων˙ δυσωπούσι γαρ Χριστώ ημάς λυτρωθήναι, πυρός και κολάσεως.

Δόξα. Και νυν. Θεοτοκίον. Όμοιον.

Παρθένε η Θεόν, συλλαβούσα ασπόρως, και τέξασα εν γη, ως βροτόν τον Δεσπότην, αυτόν ουν ικέτευε, υπέρ δούλων αχρείων σου, πάσης θλίψεως, ημάς δεινής λυτρωθήναι, και κολάσεως, της αιωνίου ρυσθήναι, τον μόνον Φιλάνθρωπον.

Μετά την β' στιχολογίαν Κάθισμα.Ήχος δ'. Ταχύ προκατάλαβε.

Επτάριθμον σύλλογον, των θεοφόρων πιστοί, πατέρων υμνήσωμεν και αθλοφόρων Χριστού, βοώντες εν άσμασι, ρύσασθε εκ κινδύνων, και εχθρών αοράτων, ανθρώπων ημάς κακούργων και παθών ψυχοφθόρων, προστρέχοντας τη σκέπη υμών πανσεβάσμιοι.

Δόξα. Και νυν. Θεοτοκίον. Όμοιον.

Παρθένε Πανάμωμε, Μήτηρ Χριστού του Θεού, η κόσμον κοσμήσασα, τω σω Υιώ και Θεώ, και θάνατον λύσασα˙ Τούτον αεί δυσώπει συν επτάδι πατέρων, ρύσασθαι των Σκλαβένων Ακαρνάνων τε πλήθη, πολέμων τε και εκ πλάνης, και νόσων Πανύμνητε.

Μετά τον Πολυέλεον Κάθισμα. Ήχος πλ. δ'. Την Σοφίαν και Λόγον.

Τους οσίους και μάρτυρας του Χριστού, ευφημήσωμεν πάντες οι γηγενείς, τον πάνσοφον Βλάσιον, ιερέα τον ένθεον, τον ιερόν Θεόκλητον, τον μέγαν Ιγνάτιον, και Συμεών τον θείον, λαόν τους ποιμάναντας, άμα Νικηφόρον τον λαμπρόν, και τον πάνυ Χαρίτωνα μέλψωμεν, Παντελεήμονα ένδοξον, οις εν πίστει βοήσωμεν. Πρεσβεύσατε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθε, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην υμών.

Δόξα. Και νυν. Θεοτοκίον. Όμοιον.

Την ουράνιον πύλην και κιβωτόν, το πανάγιον όρος την φωταυγή, νεφέλην υμνήσωμεν ,Ιησού του Θεού ημών, τον επηρμένον θρόνον, λυχνίαν επτάφωτον, του Ααρών την ράβδον, την όντως βλαστήσασα, την μόνην Θεοτόκον και Μητέρα Κυρίου, την μόνην αειπάρθενον των πιστών την αντίληψιν, οι πιστώς εκβοήσωμεν˙ Πρέσβευε τω σω Υιώ και Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις προσκυνούσιν εν πίστει, αυτού την Θεότητα.

Οι Αναβαθμοί, το α' Αντίφωνο του δ' ήχου.

Προκείμενον. Ήχος δ'.

Θαυμαστός ο Θεός εν τοις αγίοις αυτού, ο Θεός Ισραήλ αυτός δώσει λύτρωσιν και κραταίωσιν τω λαώ αυτού˙ Ευλογητός ο Θεός. Εκ (γ’).

Στίχ. Τοις αγίοις τοις εν τη γη αυτού εθαυμάστωσεν ο Κύριος, πάντα τα θελήματα αυτού εν αυτοίς.

Πάσα πνοή αινεσάτω τον Κύριον (γ’).

Ευαγγέλιον κατά Λουκάν.

Ο Ν’ ψαλμός.

Δόξα. Ταις των αθλοφόρων πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.

Και νυν. Ταις της Θεοτόκου πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.

Είτα το ιδιόμελον. Ήχος πλ. β’.

Στίχ. Ελεήμον, ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου και κατά το πλήθος των οικτιρμών σου, εξάλειψον το ανόμημά μου.

Εν ωδαίς ασμάτων ανυμνήσωμεν πιστοί, τους του Χριστού γενναίους ιερομάρτυρας, και προς αυτούς εν καθαρά τη ψυχή, εκβοήσωμεν λέγοντες. Χαίροις παμμακάριστε Βλάσιε, των οσίων δόξα, και αθλοφόρων το καύχημα. Χαίρετε Θεόκλητε, Συμεών και Ιγνάτιε, ότι την στολήν των ιερέων, λαμπροτέραν ειργάσασθε τοις οικείοις ημών αίμασι. Χαίρετε Νικηφόρε, Παντελεήμονι συν Χαρίτωνι, οι των ασωμάτων εφάμιλλοι και των μαρτύρων ισοστάσιοι. Και νυν παριστάμενοι Χριστώ τω Θεώ, αιτήσασθε δωρηθήναι ημίν το μέγα έλεος.

Οι κανόνες ο της Θεοτόκου μετά των Ειρμών εις ς’, και των Οσιομαρτύρων εις η’.

Ωδή α’. Ήχος πλ. δ’.

Ο Ειρμός.

Υγράν διοδεύσας ωσεί ξηράν, και την Αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα˙ Τω λυτρωτή και Θεώ ημών άσωμεν.

Πολλοίς συνεχόμενος πειρασμοίς, προς σε καταφεύγω, σωτηρίαν επιζητών˙ ώ Μήτερ του Λόγου και Παρθένε, των δυσχερών και δεινών με διάσωσον.

Παθών με ταράττουσι προσβολαί, πολλής αθυμίας, εμπιπλώσαί μου την ψυχήν˙ ειρήνευσον Κόρη τη γαλήνη, τη του Υιού και Θεού σου πανάμωμε.

Σωτήρα τεκούσάν σε και Θεόν, δυσωπώ Παρθένε, λυτρωθήναί με των δεινών˙ σοι γαρ νυν προσφεύγων ανατείνω, και την ψυχήν και την διάνοιαν.

Νοσούντα το σώμα και την ψυχήν, επισκοπής θείας, και προνοίας της παρά σου, αξίωσον μόνη Θεομήτορ, ως αγαθή αγαθού τε λοχεύτρια.

Εν θλίψει με όντα και συμφορά, επισκοπής θείας, και προνοίας μόνη Αγνή, αξίωσον όπως σε δοξάζω, την θεοδόξαστον και υπεράμωμον.

Ο Κανών των Οσιομαρτύρων, ου η ακροστιχίς˙

Υμνώ Ακαρνάνας Οσίους επτά. Αποστόλου.

Ωδή α’. Ήχος βαρύς. (Νεύσει σου προς γεώδη).

Ύμνον σοι τη Τριάδι τη υπερθέω βοώ σοι˙ σοφίας μοι δώρησαι ρανίδα μόνε Κύριε, όπως γηθόμενος μέλψω, επτάδος των πατέρων σεπτά κατορθώματα.

Μέγιστος εν πατράσι παμμάκαρ Βλάσιε ώφθης, παθών τε την νέκρωσιν συ περιφέρων Όσιε. Όθεν του Πνεύματος ώφθης οίκος, ευωδία σκορπίζων τοις πέρασι.

Δόξα…

Νόμον τον του Κυρίου η των πατέρων χορεία, τηρούσα, εφώτισε λαόν τον χριστεπώνυμον. Όθεν Σκλαβένων η πόλις, χαίρουσα τιμά τα αυτών προτερήματα.

Και νυν…

Ώφθης ώ Θεοτόκε του υπέρ πάντων Δεσπότου, σεπτόν ενδιαίτημα και των πιστών το στήριγμα. Όθεν εις σε τας ελπίδας έχοντες, Παρθένε, σε πάντες δοξάζομεν.

Καταβασία. Ανοίξω το στόμα μου. Ήχος δ’.

Ανοίξω το στόμα μου, και πληρωθήσεται Πνεύματος, και λόγον ερεύξομαι, τη βασιλίδι Μητρί˙ και οφθήσομαι, φαιδρώς πανηγυρίζων, και άσω γηθόμενος, ταύτης τα θαύματα.

Της Θεοτόκου. Ωδή γ’.

Ο Ειρμός.

Ουρανίας αψίδος, οροφουργέ Κύριε, και της Εκκλησίας δομήτορ, συ με στερέωσον, εν τη αγάπη τη ση, των εφετών η ακρότης, των πιστών το στήριγμα, μόνε φιλάνθρωπε.

Προστασίαν και σκέπην, ζωής εμής τίμημι, σε Θεογεννήτορ Παρθένε˙ συ με κυβέρνησον, προς τον λιμένα σου, των αγαθών η αιτία, των πιστών το στήριγμα, μόνη πανύμνητε.

Ικετεύω Παρθένε, τον ψυχικόν τάραχον, και της αθυμίας την ζάλην, διασκεδάσαι μου˙ συ γαρ Θεόνυμφε, τον αρχηγόν της γαλήνης, τον Χριστόν εκύησας, μόνη πανάχραντε.

Ευεργέτην τεκούσα, τον των καλών αίτιον, της ευεργεσίας τον πλούτον, πάσιν ανάβλυσον˙ πάντα γαρ δύνασαι, ως δυνατόν εν ισχύϊ, τον Χριστόν κυήσασα, Θεομακάριστε.

Χαλεπαίς αρρωστίαις, και νοσεροίς πάθεσιν, εξεταζομένω Παρθένε, συ μοι βοήθησον˙ των ιαμάτων γαρ, ανελλιπή σε γινώσκω, θησαυρόν πανάμωμε, τον αδαπάνητον.

Ωδή γ’. Ήχος βαρύς.

Των Οσιομαρτύρων.(Ο κατ’ αρχάς τους ουρανούς).

Αδιαλείπτω προσευχή, έχοντες θείοι Πατέρες, του εχθρού τα βέλη τα πικρά, ως νηπίων βέλη ελογίσασθε, θείων αιμάτων τε ροαίς, εναπεπνύξατε τούτων, υπό των αγγέλων θαυμαζόμενοι.

Καταβαλών τον δυσμενή, τη του Δεσπότου δυνάμει, θεοφόρε Βλάσιε σοφέ, και ωραϊσθείς τω μαρτυρίω σου, στέφος διπλούν παρά Χριστού, μένων αεί, συ εδέξω, επί κεφαλής σου αξιάγαστε.

Δόξα...

Αγίαν κλίσιν συ δεχθείς, εκ του Κυρίου τρισμάκαρ, θαυμαστέ Θεόκλητε σοφέ, και ως ιερεύς και μάρτυς ένδοξος,

δοξάσας επί γης, εν ουρανώ νυν αγάλλει, υπέρ των ψυχών ημών δεόμενος.

Και νυν...

Ρομφαία δίστομος Αγνή, εκ της Εδέμ απεστράφη, του Υιού και Λόγου του Πατρός προελθόντος θείων εκ λαγόνων σου, φύσιν λαβόντα των βροτών, και σταυρωθείς, τοις ανθρώποις τον Παράδεισον διήνοιξεν.

Καταβασία. Τους σους υμνολόγους.

Τους σους υμνολόγους Θεοτόκε, ως ζώσα και άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, και εν τη θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα. Ήχος πλ. α'.(Τον Συνάναρχον Λόγον).

Των Οσίων μαρτύρων τα κατορθώματα, οι εν Σκλαβένοις οικούντες και Ακαρνάνων πληθύς, εν ωδαίς πνευματικαίς μεγαλύνομεν. Ότι εδόξασαν Χριστόν, επί γης, και φαεινοί εκλάμπουσιν ως αστέρες. Και νυν Αυτόν δυσωπούσιν, ελεηθήναι τας ψυχάς ημών.

Δόξα και νυν. Θεοτοκίον.

Χαίρε έμψυχε βάτε και ακατάφλεκτε. Χαίρε στάμνε το μάνα Χριστόν η έχουσα, τον παρέχοντα ημίν ζωήν αιώνιον. Σε δυσωπούμεν αγαθή, πάσης βλάβης και φθοράς και θλίψεων και κινδύνων, και αιωνίου θανάτου, ρύσαι τους δούλους σου πανύμνητε.

Της Θεοτόκου. Ωδή δ’.

Ο Ειρμός.

Εισακήκοα Κύριε, της οικονομίας σου το μυστήριον˙ κατενόησα τα έργα σου, και εδόξασά σου την Θεότητα.

Των παθών μου τον τάραχον, η τον κυβερνήτην τεκούσα Κύριον, και τον κλύδωνα κατεύνασον, των εμών πταισμάτων Θεονύμφευτε.

Ευσπλαχνίας την άβυσσον, επικαλουμένω της σης παράσχου μοι, η τον εύσπλαχνον κυήσασα, και Σωτήρα πάντων των υμνούντων σε.

Απολαύοντες πάναγνε, των σων δωρημάτων ευχαριστήριον, αναμέλπομεν εφύμνιον, οι γινώσκοντές σε Θεομήτορα.

Οι ελπίδα και στήριγμα, και της σωτηρίας τείχος ακράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης εκλυτρούμεθα.

Επί κλίνης οδύνης μου, και της αρρωστίας κατακειμένω μοι, ως φιλάγαθος βοήθησον, Θεοτόκε μόνη αειπάρθενε.

Των Οσιομαρτύρων.(Ο Πατρικούς κόλπους μη λιπών).

Νικητικά μάρτυρες Χριστού, βραβεία ήρατε εν γη, των άθλων υμών, και Χριστώ συμβασιλεύοντες, δόξης απολαύετε, εις τους απεράντους αιώνας μακάριοι.

Αναφανείς μέσω της νυκτός, τη Ευφροσύνη τη σεμνή, εν θείω φωτί, σον μαρτύριον ιστόρησας, αυτή, και τον θάνατον, υπ’ αυτής ώ Βλάσιε θαυμαζόμενος.

Δόξα…

Ναός Θεού, ώφθης επί γης ηγιασμένε Συμεών, τω θείω φωτί, καταυγάζων τους προστρέχοντας προς σε, αξιάγαστε, ους περ και ενίσχυσας τω μαρτυρίω σου.

Και νυν…

Αγνή και Μήτηρ αληθής, μόνη εφάνης επί γης, Μαρία σεμνή, τον Χριστόν γαρ ημίν τέτοκας, διπλούν θελήσεσι, ενεργείαις τε και φύσεσιν Άχραντε.

Καταβασία. Την ανεξιχνίαστον.

Την ανεξιχνίαστον θείαν βουλήν, της εκ της Παρθένου σαρκώσεως, σου του Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τη δυνάμει σου Κύριε.

Της Θεοτόκου. Ωδή ε'.

Ο Ειρμός.

Φώτισον ημάς, τοις προστάγμασί σου Κύριε, και τω βραχίονί σου τω υψηλώ, την σην ειρήνην, παράσχου ημίν φιλάνθρωπε.

Έμπλησον Αγνή, ευφροσύνης την καρδίαν μου, την σην ακήρατον διδούσαν χαράν, της ευφροσύνης, η γεννήσασα τον αίτιον.

Λύτρωσαι ημάς, εκ κινδύνων Θεοτόκε Αγνή, η αιωνίαν τεκούσαν λύτρωσιν, και την ειρήνην, τα πάντα νουν υπερέχουσαν.

Λύσον την αχλύν, των πταισμάτων μου Θεόνυμφε, τω φωτισμώ της σης λαμπρότητος, η φως τεκούσα, το θείον και προαιώνιον.

Ίασαι Αγνή, των παθών μου την ασθένειαν, επισκοπής σου αξιώσασα, και την υγείαν, τη πρεσβεία σου παράσχου μοι.

Των Οσιομαρτύρων.(Νυξ αφεγγής).

Σκότος των παθών των εμών και φθοράς, αεί διώκετε οσιομάρτυρες μακάριοι. Δια τούτο ημείς εν ύμνοις, υμών την μνήμην εορτάζομεν.

Όλος φωτί ων ακτίστω Χριστού, την Ευφροσύνην αεί, εν ταις νυξί φωτίζεις Βλάσιε˙ Δια τούτό σε δυσωπούμεν, φωτός μετόχους ημάς ποίησον.

Δόξα...

Σε των αθέων Αγαρηνών ο εσμός, τον ιερέα Χριστού, εν τω πυρί παμμάκαρ έρριψαν, του πυρός του αιωνίου, σε εκλυτρούμενοι Ιγνάτιε.

Και νυν...

Ίνα υμνούμεν Παρθένε Αγνή, τα μεγαλεία σου αεί, οι επαικότες Κόρη δούλοι σου των ψυχών ημών και σωμάτων, ίασιν παράσχου Παναμώμητε.

Καταβασία. Εξέστη τα σύμπαντα.

Εξέστη τα σύμπαντα, επί τη θεία δόξη σου, συ γαρ Απειρόγαμε Παρθένε, έσχες εν μήτρα τον επί πάντων Θεόν, και

τέτοκας άχρονον Υιόν, πάσι τοις υμνούσι σε, σωτηρίαν βραβεύοντα.

Της Θεοτόκου. Ωδή στ'.

Ο Ειρμός.

Την δέησιν εκχεώ προς Κύριον, και αυτώ απαγγελώ μου τας θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, και η ζωή μου τω άδη προσήγγισε˙ και δέομαι ως Ιωνάς˙ Εκ φθοράς ο Θεός ανάγαγε.

Θανάτου και της φθοράς ος έσωσεν, εαυτόν εκδεδωκώς τω θανάτω, την τη φθορά, και θανάτω μου φύσιν, κατασχεθείσαν Παρθένε δυσώπησον, τον Κύριόν σου και Υιόν, της εχθρών κακουργίας με ρύσασθαι.

Προστάτιν σε της ζωής επίσταμαι, και φρουράν ασφαλεστάτην Παρθένε, των πειρασμών διαλύουσαν όχλον, και επηρείας δαιμόνων ελαύνουσαν˙ και δέομαι δια παντός, εκ φθοράς των παθών μου ρυσθήναί με.

Ως τείχος καταφυγής κεκτήμεθα, και ψυχών σε παντελή σωτηρίαν, και πλατυσμόν εν ταις θλίψεσιν Κόρη, και τω φωτί σου αεί αγαλλόμεθα˙ ώ Δέσποινα και νυν ημάς, των παθών και κινδύνων διάσωσον.

Εν κλίνη νυν ασθενών κατάκειμαι, και ουκ έστιν ίασις τη σαρκί μου˙ άλλ' η Θεόν και Σωτήρα του κόσμου, και τον λυτήρα των νόσων κυήσασα, σου δέομαι της αγαθής˙ Εκ φθοράς νοσημάτων ανάστησον.

Των Οσιομαρτύρων.(Ναυτιών τω σάλω).

Όντως ιερός ων ο τόπος, ο υμών τους τάφους κατέχων, πατέρες και μάρτυρες αθλοφόροι, ώσπερ του Σινά της βάτου μακάριοι. Δια τούτο πάντες ευγνωμόνως, εν αυτώ εστώτες, υμάς μεγαλύνομεν.

Υπό των αθέων, ήλους κατεδέξω τη ση καρδία, πατήρ ημών Βλάσιε, και τω θρόνω, του Ζωοδότου Χριστού παριστάμενος, ως πολυτελείς λίθους συ φέρεις, τα εκ τούτων στίγματα, αεί καυχόμενος.

Δόξα...

Σε τον του Κυρίου όσιον και δίκαιον Νικηφόρε, δαιμόνων τα όργανα ως κακούργων, ανηλεώς κατασφάττουσιν ένδοξε, σου ζωήν την άνω προξενούντες, την εις τους αιώνας μένουσαν μακάριε.

Και νυν...

Επί των χειρών σου, ο δρακί κατέχων την κτίσιν, εκάθισεν Δέσποινα Θεοτόκε βροτός γενόμενος όντως ο Κύριος όπως της φθοράς ημάς λυτρώση. Όν αεί δυσώπει, του σωθήναι άπαντας.

Καταβασία. Την θείαν ταύτην.

Την θείαν ταύτην και πάντιμον, τελούντες εορτήν οι θεόφρονες, της Θεομήτορος, δεύτε τας χείρας κροτήσωμεν, τον εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον. Ήχος γ'.(Η Παρθένος σήμερον).

Χαίροις πόλις άπασα, η των Σκλαβένων και σκίρτα, Ακαρνάνων σύλλογος και η πληθύς των Ελλήνων. Σήμερον αυγάζει πάσαν την οικουμένην, άθλησις, η επταρίθμων σεπτών πατέρων, προς ους είπομεν της άνω ζωής πατέρες ημάς αξιώσατε.

Ο Οίκος.

Σήμερον των πιστών η ομήγυρις. Σήμερον των φιλεόρτων αι χορείαι. Σήμερον των ορθοδόξων τα συστήματα, εν φωνή αγαλλιάσεως την των σεπτών οσιομαρτύρων μνήμην, δεύτε τιμήσωμεν. Βλάσιον τον εν ιερεύσι τίμιον και αθλοφόροις μέγιστον αναδειχθέντα. Θεόκλητον, Συμεών, Ιγνάτιον, τους διπλοίς στεφάνοις κεκοσμημένους, ως ιερείς του Υψίστου φανέντας, και στατιώτας αναδειχθέντας του Θεού ημών. Νικηφόρον, Παντελεήμονα και Χαρίτωνα, τους εν οσιότητι ομοτίμους των αγγέλων γεγονότας, και μαρτυρίου αίματι τον Βελίαρ εις χάος καταποντίσαντας. Προς ους είπομεν τοις άνω ζωής πατέρες ημάς αξιώσατε.

Συναξάριον.

Τη ΚΔ' του μηνός Ιουνίου, μνήμη του αγίου ενδόξου Οσιομάρτυρος Βλασίου του εν Σκλαβένοις.

Στίχοι.

Βλάσιον υμνώ εν άσμασι και ύμνοις τον εν ταις αυλαίς βλαστήσαντα Κυρίου.

Εικάδι Τετάρτη Ιουνίου Βλάσιον απέτεμεν χαλκός.

Της Θεοτόκου. Ωδή ζ’.

Ο Ειρμός.

Οι εκ της Ιουδαίας, καταντήσαντες Παίδες, εν Βαβυλώνί ποτέ, τη πίστει της Τριάδος, την φλόγα της καμίνου, κατεπάτησαν ψάλλοντες˙ Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Την ημών σωτηρίαν, ως ηθέλησας Σώτερ οικονομήσασθαι, εν μήτρα της Παρθένου, κατώκησας τω κόσμω, ήν προστάτιν ανέδειξας˙ Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θησαυρόν σωτηρίας, και πηγήν αφθαρσίας την σε κυήσασαν, και πύργον ασφαλείας, και θύραν μετανοίας, τοις κραυγάζουσιν έδειξας˙ Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Θελητήν του ελέους, ον εγέννησας Μήτερ αγνή, δυσώπησον, ρυσθήναι των πταισμάτων, ψυχής τε μολυσμάτων, τους εν πίστει κραυγάζοντας˙ Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Σωμάτων μαλακίας, και ψυχών αρρωστίας Θεογεννήτρια, των πόθω προσιόντων, τη σκέπη σου τη θεία, θεράπευσον αξίωσον, η τον Σωτήρα Χριστόν, ημίν αποτεκούσα.

Των Οσιομαρτύρων. (Κάμινος παίδας).

Πώς την υμών θείαν δόξαν πατέρες, την υπέρ νουν διηγήσασθαι, οι γεγενείς δυνηθώμεν, ήν ο Θεός ημίν δέδωκεν, ο των Πατέρων Θεός και υπερένδοξος;

Της του Χριστού της αγάπης Βλάσιος, εμέ χωρίσει εκραύγαζεν, τοις μιαιφόνοις λησταίς, ου πυρ, ου θάνατος, προς τον Χριστόν και Θεόν μου αναβαίνοντα.

Δόξα...

Άρματι πάτερ υπερφυών αρετών σου, προς τον Δεσπότην ανέδραμες, χαριτωθείς, ώ Χαρίτων, σεπτώ μαρτυρίω σου, και προς αυτόν εκραύγαζες˙ Ευλογητός ει αεί ο Θεός.

Και νυν...

Άσπιλε άφθορε άχραντε Κόρη, αγνή Θεόνυμφε Δέσποινα, νουν και καρδίαν ημών, φωτί καταφαίδρυνον, προς σε κραυγάζειν πάντοτε, χαίρε Μαρία η Μήτηρ Θεού.

Καταβασία. Ουκ ελάτρευσαν.

Ουκ ελάτρευσαν τη κτίσει οι θεόφρονες, παρά τον Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον˙ Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Της Θεοτόκου. Ωδή η’.

Ο Ειρμός.

Τον Βασιλέα των ουρανών, ον υμνούσι, στρατιαί των Αγγέλων υμνείτε, και υπερυψούτε εις πάντας τους αιώνας.

Τους βοηθείας της παρά σου δεομένους, μη παρίδης, Παρθένε, υμνούντας, και υπερυψούντάς σε Κόρη εις αιώνας.

Των ιαμάτων το δαψιλές επιχέεις, τοις πιστώς υμνούσί σε Παρθένε, και υπερυψούσι τον άφραστόν σου τόκον.

Τας ασθενείας μου της ψυχής ιατρεύεις, και σαρκός τας οδύνας Παρθένε, ίνα σε δοξάζω την Κεχαριτωμένην.

Των πειρασμών συ τας προσβολάς εκδιώκεις, και παθών τας εφόδους Παρθένε, όθεν σε υμνούμεν εις πάντας τους αιώνας.

Των Οσιομαρτύρων. (Άφλεκτος πυρί).

Πώς ουν εξειπείν, τους αγώνας κατ' εχθρών υμών γενναίοι, ους εποιήσατε, τους υπέρ ανθρώπων, δυνάμει Χριστού; Τω δε φρικτώ μαρτυρίω τω υμών,ωραϊσθέντες ώ σοφοί, τω Χριστώ ψάλλετε˙ Πάντα τα έργα τον Κύριον υμνείτε, και υπερυψούτε εις πάντας τους αιώνας.

Όλος τω Θεώ, αναθέμενος υπάρχων παμμάκαρ Βλάσιε, λαούς οδήγησας, προς γνώσιν Χριστού, και εκ μαστίγων πληγαίς, και των βασάνων προσβολαίς, υποστάς Όσιε, και ση εδέξω καρδία ήλους πέντε˙ δόξα τη Τριάδι βοών εις τους αιώνας.

Ευλογούμεν Πατέρα Υιόν και Άγιον Πνεύμα τον Κύριον.

Σα ώ ποία γλώσσα, Πάτερ παλαίσματα υμνήσει, και θείους άθλους σου, κατά παθών και αρχεκάκου εχθρού, και την σεπτήν σου σφαγήν, Παντελεήμον αθλητά, ην λαβών έχαιρες; Πάντα τα έργα υμνείτε τον Δεσπότην και υπερυψούτε, βοών εις τους αιώνας.

Και νυν...

Τρόμω ον οι άγγελοι ύμνον ως Δεσπότην αεί προσφέρουσι, Υιώ και Λόγω του ανάρχου Πατρός, Αυτόν Παρθένε Αγνή, βροτόν

τεκούσα επί γης, τον ημάς σώζοντα˙ όθεν σε πάντες αγγέλων ανωτέρα, ημών τε προστασίαν υμνούμεν εις αιώνας.

Καταβασία. Παίδας ευαγείς.

Παίδας ευαγείς εν τη καμίνω, ο τόκος της Θεοτόκου διεσώσατο, τότε μεν τυπούμενος˙ νυν δε ενεργούμενος, την οικουμένην άπασαν, αγείρει ψάλλουσαν˙ Τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Της Θεοτόκου. Ωδή θ'.

Ο Ειρμός.

Κυρίως Θεοτόκον, σε ομολογούμεν, οι δια σου σεσωσμένοι Παρθένε Αγνή, συν ασωμάτοις χορείαις σε μεγαλύνοντες.

Ροήν μου των δακρύων, μη αποποιήσης, η τον παντός εκ προσώπου παν δάκρυον, αφηρηκότα Παρθένε, Χριστόν κυήσασα.

Χαράς μου την καρδίαν, πλήρωσον Παρθένε, η της χαράς δεξαμένη το πλήρωμα, της αμαρτίας την λύπην εξαφανίσασα.

Λιμήν και προστασία, των σοι προσφευγόντων, γενού Παρθένε και τείχος ακράδαντον, καταφυγή τε και σκέπη και αγαλλίαμα.

Φωτός σου ταις ακτίσι, λάμπρυνον Παρθένε, το ζοφερόν της αγνοίας διώκουσα, τους ευσεβώς Θεοτόκον σε καταγγέλοντας.

Κακώσεως εν τόπω, τω της ασθενείας, ταπεινωθέντα, Παρθένε θεράπευσον, εξ αρρωστίας εις ρώσιν, μετασκευάζουσα.

Των Οσιομαρτύρων. (Μη της φθοράς).

Όλην την αίγλην του Πνεύματος εισδεξάμενοι, Οσιομάρτυρες θείοι επτά οι Πανεύφημοι, πάσας ιώμενοι τας νόσους των ανθρώπων. Και νυν ώσπερ αστέρες, αυγάζετε την πάσαν οικουμένην, υφ' ημών τιμώμενοι.

Λύων τα πταίσματα εκ του Θεού ημών λαβών, ώ Βλάσιε, χάριν πάντας συγχώρησον˙ έχεις γαρ ένδοξε προς Θεόν παρρησία, τα στίγματα ως μάρτυς, Κυρίου Ιησού αεί βαστάζων˙ χαίροις πανθαύμαστε.

Δόξα...

Ου κοσμικούς τε αγώνας ουδέ ολύμπια, η των Σκλαβένων συ πόλις άγεις μαρτύριον, μάλλον των τέκνων σου υπό Χριστού στεφθέντων. Αγάλλου τε και σκίρτα, την νίκην του θανάτου καυχωμένη, ύμνοις εόρταζε.

Και νυν...

Υπό των δούλων σου δέχου τον ύμνον Πάναγνε, η δεχομένη αγγέλων αεί την αίνεσιν˙ ότι το πλήρωμα της Θεότητος έχεις, Πατρός η θεία νύμφη, Υιού Μήτηρ απείρανδρος του Λόγου, Πνεύματος τέμενος.

Καταβασία. Άπας γηγενής.

Άπας γηγενής, σκιρτάτω τω πνεύματι, λαμπαδουχούμενος˙ πανηγυριζέτω δε, αΰλων Νόων φύσις γεραίρουσα, την ιεράν πανήγυριν, της Θεομήτορος, και βοάτω˙ Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε.

Εξαποστειλάριον. Ήχος β’.Τοις μαθηταίς συνέλθωμεν.

Φαιδρώς πανηγυρίσωμεν, ορθοδόξων τα πλήθη, την των Οσίων σήμερον, και Μαρτύρων την μνήμην, συν Θεοκλήτω Βλασίου, Συμεών, Ιγνατίου, άμα Παντελεήμονι, Νικηφόρου του πάνυ, και του σεπτού, χαίροντες Χαρίτωνος εκβοώντες. Χριστόν καθικετεύσατε ειρηνεύσαι τον κόσμον.

Θεοτοκίον. Όμοιον.

Δέσποινα πάντων άνασσα, και κυρία του κόσμου, τω φοβερώ νυν βήματι, του Υιού και Θεού σου, παρισταμένη δυσώπει, ελεήσαι τον κόσμον, και σώσαι τας ψυχάς ημών, εκ κολάσεως άμα, και του πυρός, και φρικτού θανάτου του αιωνίου. Εις σε Αγνή ελπίζομεν, την βοήθειαν πάντων.

Εις τους Αίνους, ιστώμεν Στίχους δ’ και ψάλλομεν Στιχηρά Προσόμοια.Ήχος α’. Των ουρανίων ταγμάτων.

Πνευματικώς συνελθόντες ανευφημήσωμεν, την μνήμην των Οσίων, επταρίθμων μαρτύρων. Εκ γης της των Σκλαβένων ως κρίνα τερπνά, και ευώδη εξήνθισαν, ευωδιάζοντες πάντας υπερφυώς, θεία χάριτι του Πνεύματος.

Εν κατανύξει καρδίας, Πάτερ υμνούμεν σε, των Αθλοφόρων δόξα, και Οσίων το κλέος, τον άθλους και βασάνους και πόνους φρικτούς, υπομείναντα Βλάσιε, και προσδεθέντας σε δένδρω και την σεπτήν, ήλοις τρωθέντα την καρδίαν σου.

Οι προς Θεόν ημών πρέσβεις, και αντιλήπτορες, της Εκκλησίας σκέπη, ορθοδόξων οι πύργοι, Θεόκλητε Ιγνάτιε συν

Συμεών, ιερείς Θεού χαίρετε˙ συν Νικηφόρω Χαρίτωνι και σεπτώ, Παντελεήμονι μακάριοι.

Τους εν κινδύνοις και θλίψεσι και κακώσεσι, τους εν αιρέσει πάντας, και δαιμόνων εκ πλάνης, κακίας τε μαγείας και νόσου ψυχής, τριχομένους μακάριοι. Τη προς Τριάδα πρεσβεία υμών αεί, εκλυτρώσασθαι δεόμεθα.

Δόξα. Ήχος πλ. δ'.

Κροτήσωμεν εν άσμασιν σήμερον πιστοί, επί την μνήμην των Οσίων Πατέρων και Αθλοφόρων Κυρίου. Ούτοι γαρ τον Σταυρόν αυτών φέροντες, ηκολούθησαν Χριστώ, και τη του Πνεύματος φωταυγεία, τους λαούς των Ακαρνάνων εφώτισαν. Όθεν και οι τάφοι αυτών, ιάματα βλύζουσι, και τα οστά αυτών, πάσαν νόσον των ανθρώπων θεραπεύουσιν. Και νυν τω θρόνω της μεγαλωσύνης παριστάμενοι, επτάριθμοι Πατέρες οι πανσεβάσμιοι, ικετεύωσι Χριστώ, όπως ίλεως γένηται ημίν, εν τη ημέρα της κρίσεως.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Δοξολογία Μεγάλη και Απόλυσις.

**Εις την Λειτουργίαν**

τα Τυπικά, και εκ του Κανόνος των Οσιομαρτύρων η γ' και η στ'.

Απόστολος.Προκείμενον. Ήχος β'. (Ψαλμός ριζ').

Θαυμαστός ο Θεός εν τοις Αγίοις αυτού, ο Θεός Ισραήλ Αυτός δώσει δύναμιν και κραταίωσιν τω λαώ αυτού. Ευλογητός ο Θεός.

Στίχ. Εν Εκκλησίαις ευλογείτε τον Θεόν.

Προς Εφεσίους Επιστολής Παύλου το Ανάγνωσμα.

Αδελφοί, ενδυναμούσθε εν Κυρίω και εν τω κράτει της ισχύος αυτού. Ενδύσασθε την πανοπλίαν του Θεού προς το δύνασθαι υμάς στήναι προς τας μεθοδείας του διαβόλου˙ ότι ουκ έστιν ημίν η πάλη προς αίμα και σάρκα, αλλά προς τας αρχάς, προς τας εξουσίας, προς τους κοσμοκράτορας του σκότους του αιώνος τούτου, προς τα πνευματικά της πονηρίας εν τοις επουρανίοις. Δια τούτο αναλάβετε την πανοπλίαν του Θεού, ίνα δυνηθήτε αντιστήναι εν τη ημέρα τη πονηρά και άπαντα κατεργασάμενοι στήναι. Στήτε ουν περιζωσάμενοι την οσφύν υμών εν αληθεία, και ενδυσάμενοι τον θώρακα της δικαιοσύνης, και υποδησάμενοι τους πόδας εν ετοιμασία του ευαγγελίου της ειρήνης, επί πάσαν αναλαβόντες τον θυρεόν της πίστεως, εν ώ δυνήσεσθε πάντα τα βέλη του πονηρού τα πεπυρωμένα σβέσαι˙ και την περικεφαλαίαν του σωτηρίου δέξασθαι, και την μάχαιραν του Πνεύματος, ο έστι ρήμα Θεού.

Στίχοι. Αλληλούϊα.

Καυχήσονται όσιοι εν δόξη και αγαλλιάσονται επί των κοιτών αυτών.

Αι υψώσεις του Θεού εν τω λάρυγγι αυτών και ρομφαίαι δίστομοι εν ταις χερσίν αυτών.

Ευαγγέλιον˙ (ο ζήτει την Παρασκευήν β' εβδομάδος Λουκά).

Τω καιρώ εκείνω, έστη ο Ιησούς επί τόπου πεδινού, και όχλος μαθητών αυτού, και πλήθος πολύ του λαού από πάσης της Ιουδαίας και Ιερουσαλήμ, και της παραλίου Τύρου και Σιδώνος, οι ήλθον ακούσαι αυτού, και ιαθήναι από των νόσων αυτών, και οι οχλούμενοι υπό πνευμάτων ακαθάρτων, και εθεραπεύοντο. Και πας ο όχλος εζήτει άπτεσθαι αυτού, ότι δύναμις παρ' αυτού εξήρχετο, και ιάτο πάντας. Και αυτός, επάρας τους οφθαλμούς αυτού εις τους μαθητάς αυτού, έλεγε˙ μακάριοι οι πτωχοί, ότι υμέτερα εστίν η βασιλεία του Θεού. Μακάριοι οι πεινώντες νυν, ότι χορτασθήσεσθε. Μακάριοι οι κλαίοντες νυν, ότι γελάσετε. Μακάριοι έστε, όταν μισήσωσιν υμάς οι άνθρωποι, και όταν αφορίσωσιν υμάς και ονειδίσωσι, και εκβάλωσι το όνομα υμών ως πονηρόν, ένεκα του Υιού του ανθρώπου. Χάρητε εν εκείνη τη ημέρα και σκιρτήσατε˙ ιδού γαρ ο μισθός υμών πολύς εν τω ουρανώ.

Μεγαλυνάριον.

Βλάσιε, Θεόκλητε, Συμεών, Ιγνάτιε μάκαρ, Νικηφόρε πάτερ ημών, Χαρίτων θεοφόρε, σοφέ Παντελεήμον, Χριστώ αεί αιτείτε σώζεσθαι άπαντας.

Δεύτε ευφημήσωμεν οι πιστοί, τους σεπτούς Πατέρας, αθλοφόρους τε τους επτά, τους καταβαλόντας, οφρύν την του διαβόλου, και την σεπτήν Τριάδα, πάσι κηρύξαντας.